φιλονικίαν καὶ ζηλοτυπίαν καὶ φθόνον, ‘κενεοφρόνων ἑταῖρον
ἀνδρῶν’, ὥς φησι Πίνδαρος (fr. 212), οὐ μετρίως ἄν τις ὠφε-
λοῖτο τῶν παθῶν τούτων ποιούμενος εἰς τοὺς ἐχθροὺς ἀποκα-
θάρσεις καὶ ἀποστρέφων ὥσπερ ὀχετοὺς πορρωτάτω τῶν ἑταίρων
καὶ οἰκείων. καὶ τοῦτο, ὡς ἔοικε, συνιδὼν πολιτικὸς ἀνὴρ ὄνομα
F Δῆμος, ἐν Χίῳ τῆς κρατούσης μερίδος ἐν στάσει γενόμενος,
παρῄνει τοῖς ἑταίροις μὴ πάντας ἐξελάσαι τοὺς ἀντιστασιάσαν-
92 τας, ἀλλ’ ὑπολιπέσθαι τινάς, | ‘ὅπως’ ἔφη ‘μὴ πρὸς τοὺς φί-
λους ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλ-
λαγέντες’. οὐκοῦν καὶ ἡμῶν καταναλισκόμενα ταῦτα τὰ πάθη
πρὸς τοὺς ἐχθροὺς ἧττον ἐνοχλήσει τοῖς φίλοις. οὐ γὰρ κερα-
μεῖ δεῖ κεραμέα φθονεῖν οὐδ’ ἀοιδὸν ἀοιδῷ καθ’ Ἡσίοδον
(OD 25), οὐδὲ γείτονα ζηλοῦν οὐδὲ ἀνεψιὸν οὐδὲ ἀδελφὸν ‘εἰς
ἄφενος σπεύδοντα’ καὶ τυγχάνοντα χρηστῶν πραγμάτων. ἀλλ’
εἰ μηδεὶς τρόπος ἐστὶν ἄλλος ἀπαλλαγῆς ἐρίδων καὶ φθόνων
καὶ φιλονικιῶν, ἔθιζε σεαυτὸν δάκνεσθαι τῶν ἐχθρῶν εὐημε-
ρούντων, καὶ παρόξυνε καὶ χάραττε τὸ φιλόνικον ἐν ἐκείνοις
B θηγόμενον. ὥσπερ γὰρ οἱ χαρίεντες γεωργοὶ τὰ ῥόδα καὶ τὰ
ἴα βελτίω ποιεῖν νομίζουσι σκόροδα καὶ κρόμμυα παραφυ-
τεύοντες (ἀποκρίνεται γὰρ εἰς ἐκεῖνα πᾶν ὅσον ἔνεστι τῇ τροφῇ
δριμὺ καὶ δυσῶδες), οὕτω καὶ ὁ ἐχθρὸς ἀναλαμβάνων καὶ
περισπῶν τὸ κακόηθες καὶ βάσκανον εὐμενέστερον παρέξει
τοῖς φίλοις εὖ πράττουσι καὶ ἀλυπότερον. διὸ καὶ τὰς ἁμίλλας
πρὸς ἐκείνους ἐστὶ ποιητέον ὑπὲρ δόξης ἢ ἀρχῆς ἢ πορισμῶν
δικαίων, μὴ δακνομένους μόνον, ἄν τι πλέον ἡμῶν ἔχωσιν,
ἀλλὰ καὶ πάντα παραφυλάττοντας ἐξ ὧν πλέον ἔχουσι, καὶ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/190 UNIVERSITÄT LEIPZIG